p. 456b. φημὶ δὴ καὶ εἰς πόλιν.

6 ἀπὸ τοῦ μερικοῦ παραδείγματος ἐπὶ τὸ καθόλου ἄνεισιν, καὶ ὑπισχνεῖται πάντα ἄνθρωπον πείθειν.

p. 456b. εἰ δέοι λόγῳ διαγωνίζεσθαι.

7 καλῶς τῷ λόγῳ· ἐν γὰρ τοῖς ἔργοις οὐκέτι· οὐδὲ γὰρ ὁ ῥήτωρ οἶδεν, ποῖον δεῖ καθάρσιον δοθῆναι.

p. 456c. ἐν πλήθει.

8 καλῶς τὸ ἐν πλήθει, ὡς ἂν πρὸς ἀπαιδεύτους ἀνθρώπους καὶ συρφετὸν πολὺν ἔχων.

p. 457a. ἐν τοῖς πλήθεσιν.

9 ἰδοὺ πάλιν πρὸς πλῆθος λέγειν ἐπαγγέλλεται, ἔμβραχυ δὲ ἀντὶ τοῦ σύντομον.

## VIII.

### *Πρᾶξις σὺν θεῷ η΄.*

p. 457c. οἶμαι, ὦ Γοργία.

1 ὃ ἀνωτέρω εἰρήκαμεν, τοῦτο ἐνταῦθα βούλεται εἰπεῖν· ἐπειδὴ γὰρ ἐλέγξαι αὐτὸν προῄρηται, ἵνα μὴ λυπηθῇ ἐλεγχόμενος, πρότερον διορίζεται τὸν τρόπον τῆς συνουσίας καί φησιν, ὅτι διττός ἐστιν· ὁ μὲν πρὸς ἀληθείας εὕρεσιν ὁρῶν, ὁ δὲ πρὸς νίκην· δεῖ τοίνυν εἰδέναι, ὅτι οἱ τρόποι οὗτοι καὶ τῇ ὁδῷ καὶ τῷ τέλει, κατά τε τὴν γνῶσιν καὶ τὴν ζωὴν διαφέρουσιν· ἐν μὲν τῇ ὁδῷ κατὰ τὴν ζωήν, ὅτι ὁ μὲν πρὸς ἀλήθειαν ὁρῶν μετὰ εὐνοίας προβάλλεται τοὺς λόγους, ὁ δὲ ἕτερος πρὸς μάχην· κατὰ δὲ τὴν γνῶσιν, ὅτι ὁ μὲν ἀλήθειαν ἀσπαζόμενος πρὸς ὠφέλειαν οἰκείαν ὁρᾷ, ὁ δὲ ἄλλος

---

9 mg. ad συρφετόν· ἀγυρτώδης ὄχλος ἢ λόγος ἢ ἐξ ἀνέμου συλλεγομένη κόπρος καὶ φρυγανώδης

18 mg.

| | | | | |
|---|---|---|---|---|
| τρόποι συνουσίας | ὁδὸς κατὰ ζωήν | ὁδὸς κατὰ γνῶσιν | τέλος κατὰ ζωήν | τέλος κατὰ γνῶσιν |
| ἀληθής | πρὸς εὔνοιαν | πρὸς ὠφέλειαν | φιλία | ἐπιστήμη |
| φιλόνεικος | πρὸς μάχην | πρὸς βλάβην | ὕβρις | πειθώ |